*Καὶ γὰρ αὖ καὶ τοῦτο σοφώτατον ἐπενόησε, τοὺς μεταχρονίους* 28 *χρησμοὺς ἐπὶ θεραπείᾳ τῶν κακῶς προτεθεσπισμένων καὶ ἀποτετευγμένων. πολλάκις γὰρ πρὸ μὲν τῆς τελευτῆς τοῖς νοσοῦσιν ὑγίειαν ἐπηγγέλλετο, ἀποθανόντων δὲ χρησμὸς ἄλλος ἕτοιμος ἦν παλινῳδῶν·*

*Μηκέτι δίζησθαι νούσου λυγρῆς ἐπαρωγήν·*
*πότμος γὰρ προφανὴς οὐδ᾿ ἐκφυγέειν δυνατόν σοι.*

*Εἰδὼς δὲ τοὺς ἐν Κλάρῳ καὶ Διδύμοις καὶ Μαλλῷ καὶ αὐτοὺς* 29 *εὐδοκιμοῦντας ἐπὶ τῇ ὁμοίᾳ μαντικῇ ταύτῃ, φίλους αὐτοὺς ἐποιεῖτο, πολλοὺς τῶν προσιόντων πέμπων ἐπ᾿ αὐτοὺς λέγων·*

*᾿Ες Κλάρον ἵεσο νῦν, τοὐμοῦ πατρὸς ὡς ὄπ᾿ ἀκούσῃς.*

*καὶ πάλιν·*

*Βραγχιδέων ἀδύτοισι πελάζεο καὶ κλύε χρησμῶν.*

*καὶ αὖθις·*

*᾿Ες Μαλλὸν χώρει θεσπίσματά τ᾿ Ἀμφιλόχοιο.*

*Ταῦτα μὲν ἐντὸς τῶν ὅρων μέχρι τῆς ᾿Ιωνίας καὶ Κιλικίας καὶ* 30 *Παφλαγονίας καὶ Γαλατίας. ὡς δὲ καὶ εἰς τὴν ᾿Ιταλίαν διεφοίτησεν τοῦ μαντείου τὸ κλέος καὶ εἰς τὴν ῾Ρωμαίων πόλιν ἐνέπεσεν, οὐδεὶς ὅστις οὐκ ἄλλος πρὸ ἄλλου ἠπείγετο, οἱ μὲν αὐτοὶ ἰόντες, οἱ δὲ πέμποντες, καὶ μάλιστα οἱ δυνατώτατοι καὶ μέγιστον ἀξίωμα ἐν τῇ πόλει ἔχοντες· ὧν πρῶτος καὶ κορυφαιότατος ἐγένετο ῾Ρουτιλιανός, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς καὶ ἀγαθὸς καὶ ἐν πολλαῖς τάξεσι ῾Ρωμαϊκαῖς ἐξητασμένος, τὰ δὲ περὶ τοὺς θεοὺς πάνυ νοσῶν καὶ ἀλλόκοτα περὶ αὐτῶν πεπιστευκώς, εἰ μόνον ἀληλιμμένον που λίθον ἢ ἐστεφανωμένον θεάσαιτο, προσπίπτων εὐθὺς καὶ προσκυνῶν καὶ ἐπὶ πολὺ παρεστὼς καὶ εὐχόμενος καὶ τἀγαθὰ παρ᾿ αὐτοῦ αἰτῶν.*

*Οὗτος τοίνυν ἀκούσας τὰ περὶ τοῦ χρηστηρίου μικροῦ μὲν ἐδέησεν ἀφεὶς τὴν ἐγκεχειρισμένην τάξιν εἰς τὸ τοῦ Ἀβώνου*